# 19-06 ΑΚΟΛΟΥΘΙΑ ΟΡΘΡΟΥ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ Ι Ο Υ Δ Α ΤΟΥ ΠΡΟΣΩΝΥΜΟΥΜΕΝΟΥ ΘΑΔΔΑΙΟΥ Η ΛΕΒΒΑΙΟΥ

*Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΘ΄ Ἰουνίου.*

*Ποίημα*

*Δρος Χαραλάμπους Μ. Μπούσια.*

*Μετὰ τὸν Ἑξάψαλμον,...*

*Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις*

*Ὅτι πρέπει σοι πᾶσα δόξα...*

*Ἦχος πλ. α΄.*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Στίχ, α΄.* Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

*Στίχ,β΄.* Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

*Στίχ, γ΄.* Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

*Ἀπολυτίκιον*

*Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ζωγρηθέντα σαγήνῃ τοῦ Λόγου Κτίσαντος, τὸν ἀδελφὸν Ἰακώβου ὡς ἐκλεκτὸν τοῦ χοροῦ Ἀποστόλων ἀνυμνήσωμεν τῶν δώδεκα, θεῖον Ἰούδαν, εὐσεβῶς, τὸν ζωγρήσαντα λαοὺς σαγήνῃ αὐτοῦ φθεγμάτων καὶ ἀθλητὴν τροπαιοῦχον, αὐτοῦ πρεσβείαις καταφεύγοντες.

Δόξα Πατρὶ... *Τὸ ὡς ἄνω*

Καὶ νῦν... *Θεοτοκίον*

*Ἦχος πλ. α΄.*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις*

*Ὅτι σὸν τὸ κράτος...*

*Μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.*

*Ἦχος α΄.*

*Τὸν τάφον Σου, Σωτήρ.*

Φωστῆρα τηλαυγῆ τοῦ Χριστοῦ Ἀποστόλων αὐγαῖς πνευματικαῖς τὸν φωτίσαντα κόσμον ἐκθύμως τιμήσωμεν μαθητὴν ὡς θειότατον καὶ ἀλκίφρονα καὶ εὐσταλῆ ἀθλοφόρον πόθῳ κράζοντες· πνευματοφόρε Ἰούδα, ἡμῶν ζόφον σκέδασον.

Δόξα. *Τὸ αὐτό.*

Καὶ νῦν. *Θεοτοκίον.*

Ἱλέωσαι ἡμῖν σὸν πανίερον Τόκον καὶ Λόγον τοῦ Θεοῦ καὶ Θεόν, Παναγία Παρθένε, βοῶμέν σοι, τοῖς πιστῶς μακαρίζουσι σὲ ὡς εὔσπλαγχνον τοῦ Θεανθρώπου Μητέρα, τοῦ οἰκτίροντος καὶ ἐλεοῦντος ἀπαύστως τὸ γένος τὸ βρότειον.

*Μετὰ τὴν β΄. Στιχολογίαν Κάθισμα.*

*Ἦχος δ΄.*

Ταχὺ προκατάλαβε.

Ἐξ ὅλης καρδίας σου Θεὸν τὸν Τριαδικὸν καὶ τῆς διανοίας σου καὶ τῆς ψυχῆς ἀληθῶς, Ἰούδα Ἀπόστολε, πάνσοφε, ἀγαπήσας καὶ τὸν λόγον τηρήσας Τούτου ἠγαπησέ σε ὁ σὲ κήρυκα δείξας ὀνόματος Αὐτοῦ καὶ πηγὴν ἄφθονον χάριτος.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Θεοῦ Λόγου σκήνωμα περικλεές, Μαριάμ, ἀνάκτορον πάμφωτον καὶ οἶκος φωτολαμπὴς ἐδείχθης, Μητρόθεε, ἡ ἐν ἁγνῇ γαστρί σου δεξαμένη ἁπάσης κτίσεως Βασιλέα, ἐν χερσὶ τὸν κρατοῦντα τὰ σύμπαντα, Σωτῆρα Χριστόν, τὸν πολυεύσπλαγχνον.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Γλωσσοπυρσόμορφον Πνεῦμα τὸ Ἅγιον, ἡμέραν εὔσημον κατεῖδες, ἔνδοξε, Πεντηκοστῆς ἐπὶ τῆς σῆς, Ἰούδα πνευματοφόρε, κεφαλῆς ἱστάμενον καὶ φωτίζον σε ζόφωσιν διαλῦσαι τάχιστα τῶν ἐθνῶν φέγγει λόγων σου· διό σε ὡς κηρύκων πανσόφων γέρας λαμπρόν σε ἀνυμνοῦμεν.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ψαλμὸς ριγ΄113

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τα πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. (δίς)

Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τα πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Στίχος· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος τοῖς αὐτοῦ μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει... Ζήτει τῇ Η΄ Νοεμβρίου.

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β΄

Ταῖς τοῦ Ἀποστόλου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄

Ἀναζωσάμενος τὴν ὀσφὺν ἐξῆλθεν εἰς κήρυξιν τοῦ Εὐαγγελίου τῆς ἀγάπης καὶ τῆς εἰρήνης, Ἰούδα Ἀπόστολε· ἀξιωθεὶς ὅθεν ἔθνεσι κηρῦξαι τὴν εὐσέβειαν καὶ λαοὺς φωτίσαι τοὺς καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου ἀπῆλθες Χριστῷ ὑπαντῆσαι, τῷ Φωτοδότῃ Κυρίῳ, τῷ φωτίζοντι καὶ ἁγιάζοντι εὐχαῖς σου τὰς ψυχὰς ἡμῶν.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ^ν)

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

## ΚΑΝΟΝΕΣ

*Ὠδὴ α΄. Κανὼν τῆς Θεοτόκου.*

*Ἦχος πλ. δ^ν Ὁ Εἱρμός.*

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, Ὢ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

*Εἶτα ὁ Κανὼν τοῦ Ἀποστόλου,*

*Ὠδὴ α΄.*

*Ἦχος δ^ν. Ἀνοίξω τὸ στόμα μου.*

*Στίχ.* Ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰούδαν Ἀπόστολον, τὸν μαθητὴν τὸν θεόπνευστον, τὸν ἕνα τῶν Δώδεκα, ὃν χάρις ἡ πανσθενὴς, ἐπεσκίασε τοῦ Πνεύματος τοῦ θείου καὶ ἔδειξε κήρυκα πίστεως, μέλψωμεν.

*Στίχ.* Ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ σπόρος τοῦ Κτίσαντος, Καλοῦ Σπορέως, καρδίαν σου, σεπτὴν ἐγεώργησεν, Ἰούδα θεοειδές, πρὸς πολύφορον καρποφορίαν, μάκαρ, δι' ἧς πάντα ἔθρεψας κτίσεως πέρατα.

Δόξα.

Ὑμνοῦντες, Ἀπόστολε Ἰούδα, μνήμην τὴν θείαν σου, ὡς πνευματοκίνητον σὲ μελῳδοῦμεν λαμπρῶς, ὄντως κήρυκα, ὃν ηὔγασεν ἡ χάρις ἡ γλωσσοπυρσόμορφος τοῦ θείου Πνεύματος.

Καὶ νῦν. *Θεοτοκίον.*

Δυνάμει, πανύμνητε, τῆς μητρικῆς παῤῥησίας σου, ἐνίσχυσον ἅπαντας, Θεογεννῆτορ ἁγνή, μεγαλύνοντας πληθὺν σῶν θαυμασίων, καὶ ὕμνοις δοξάζοντας Τόκον τὸν θεῖόν σου.

Ὠδὴ γ΄.
Κανὼν τῆς Θεοτόκου.
Ὠδὴ γ΄. Ἦχος πλ. δ΄
Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σὺ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σὺ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ, Θεογεννῆτορ, Παρθένε, σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου, σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν Ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶ σον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σὺ μοι βοήθησον, τῶν Ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπόστολε πάνσοφε Ἰούδα, Χριστῷ τῷ Θεῷ ἀκολουθῶν Αὐτοῦ κατεῖδες θαύματα, τὴν ἑκουσίαν Σταύρωσιν, φωτοειδῆ Ἀνάστασιν καὶ λαμπροφόρον Ἀνάληψιν.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νῦν πάντες ὑμνοῦντές σε, Ἰούδα, ὡς Δώδεκα Κτίστου μαθητῶν διάκοσμον καὶ κήρυκα Εὐαγγελίου πάνσοφον τιμῶμεν τοὺς ἀγῶνάς σου πρὸς ἀληθείας ἑδραίωσιν.

Δόξα.

Γηθόμενοι μέλπομεν, Θαδδαῖε, πορείαν τὴν σὴν πρὸς φωτισμὸν ἐθνῶν κατὰ παρότρυσιν Χριστοῦ καὶ εἰς τὸ ὄνομα αὐτῶν Τριάδος βάπτισιν, Πατρός Υἱοῦ τε καὶ Πνεύματος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐπάκουσον, Κεχαριτωμένη, ἡμῶν τῶν δεήσεων ταχὺ καὶ πέμψον πᾶσιν ἔλεος τὸ ἄμετρον τοῦ Τόκου σου καὶ οἰκτρμῶν τὸ πέλαγος τὸ ἀχανές, Μητροπάρθενε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα. Ἦχος δʹ.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Δωδεκαρίθμου Ἀποστόλων χορείας καὶ μαθητῶν Χριστοῦ φαιδρὰν λαμπηδόνα, Ἰούδαν τὸν θεόπνευστον, ψαλμοῖς καὶ ᾠδαῖς μέλψωμεν ὡς κήρυκα θείου Εὐαγγελίου καὶ φωστῆρα πάμφωτον οἰκουμένης ἀθλήσει τὸν εἰληφότα στέφανον χρυσοῦν ζωῆς ἀφθίτου, πιστῶν τὰ συστήματα.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Θεογεννῆτορ, Παναγία Παρθένε, καταφυγὴ τῶν χριστωνύμων ἁπάντων, βοήθεια καὶ στήριγμα καὶ σκέπη θερμή, πᾶσιν ἐπιβράβευσον εὐσεβέσι κατ᾽ ἄμφω, ῥῶσιν καὶ ὑγίειανm καὶ ἰσχὺν οὐρανόθεν, σαῖς ἱκεσίαις πρὸς τὸν Λυτρωτήν, πλουσίως πᾶσιν ἐλέη παρέχοντα.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

Κοντάκιον.

Ἦχος πλʹ δʹ. Τῇ Ὑπερμάχῳ.

Τὸν θεοφόρον καὶ θεόκλητον Ἀπόστολον, ὡς θείων λόγων τοῦ Παντάνακτος αὐτήκοον καὶ αὐτόπτην θαυμασίων Αὐτοῦ τῶν ξένων εὐφημήσωμεν Ἰούδαν τὸν θειότατον, τὸν φωτίσαι πορευθέντα τὴν ὑφήλιον ὕμνοις κράζοντες· Χαίροις, στόμα τῆς χάριτος.

Ὁ Οἶκος.

Ἄριστε χριστοκῆρυξ, Ἀποστόλων φαιδρότης τῶν δώδεκα ὑπάρχεις, Ἰούδα, καὶ λαμπρότης στεῤῥῶν ἀθλητῶν· ὅθεν μνήμην πάντες σὴν σεπτὴν σέβοντες ὑμνοῦμεν τοὺς ἀγῶνάς σου καὶ κράζομεν ἐν εὐλαβείᾳ·

Χαῖρε, ἡ στάθμη τῆς εὐσεβείας· χαῖρε, ἡ στήλη τῆς ἀληθείας.

Χαῖρε, Ἰακώβου τοῦ θείου αὐτάδελφε·

χαῖρε, εὐϊλάτου Ὑψίστου Ἀπόστολε.

Χαῖρε, ὅτι κατεφώτισας λόγοις ἅπασαν τὴν γῆν·

χαῖρε, ὅτι ἔθνη ἔδειξας σοὶ οἰκοῦσαν ἀρετήν.

Χαῖρε, τῶν θαυμασίων τοῦ Χριστοῦ ὁ αὐτόπτης·

χαῖρε, θείων χαρίτων ἱλαρώτατος δότης.

Χαῖρε, Χριστὸν ὁ ἔχων διδάσκαλον·

χαῖρε, Αὐτὸν γινώσκων ὡς Κύριον.

Χαῖρε, διάκοσμος τῆς Ἐκκλησίας·

χαῖρε, διδάσκαλος τῆς σωτηρίας·

Χαίροις, στόμα τῆς χάριτος.

Συναξάριον.

Τῇ ΙΘʹ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου Ἰούδα, τοῦ προσωνυμουμένου Θαδδαίου ἢ Λεββαίου.

Στίχοι.

Χριστοῦ ῥημάτων αὐτήκοε, Ἰούδα, Αὐτοῦ δόξης αὐτόπτης πέλεις ἐν πόλῳ.

Ὁ ἔνδοξος καὶ πανεύφημος ἀπόστολος Ἰούδας, ὁ προσωνυμούμενος Θαδδαῖος ἢ Λεββαῖος ἦν ἀδελφὸς κατὰ σάρκα τοῦ Κυρίου καὶ ἀδελφὸς Ἰακώβου τοῦ Ἀδελφοθέου, εἷς ἐκ τῶν δώδεκα Ἀποστόλων. Κατὰ τὴν παράδοσιν ἐκήρυξε τὸ Εὐαγγέλιον ἐν Μεσοποταμίᾳ, ἐπεσκέφθη τὴν Ἔδεσσαν καὶ ἐν τῇ πόλει Ἀραρὰτ συλληφθεὶς ἀνηρτήθη καὶ ἐτοξεύθη ὑπὸ τῶν ἀπίστων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

Ἦχος δ'. ᾠδὴ α'

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

ᾠδὴ γ'

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

ᾠδὴ δ'

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

ᾠδὴ ε'

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ᾠδὴ ϛ'

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

ᾠδὴ ζ'

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η'

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ')

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία

Ὠδὴ θ'

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἦχος γ'.

Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ ἐν Σιὼν ὑπερῴῳ σὺν τοῦ Κυρίου Μαθητῶν τῆς δωδεκάδος χορείᾳ τὴν ἐπιφοίτησιν δεχθεὶς τοῦ Παρακλήτου, Ἰούδα, φωτολαμπὴς ὅλος ὤφθης.

Θεοτοκίον.

Δεῖξον ἡμῖν τοῖς σοῖς δούλοις σπλάγχνα ἐλέους σοῦ Υἱοῦ, τοῦ πανοικτίρμονος Λόγου τοῦ Κτίστου καὶ Θεοῦ ἡμῶν, Θεογεννῆτορ Παρθένε, ἀεὶ βροτοὺς ἐλεοῦσα.

ΑΙΝΟΙ . Ἦχος α'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Εἶτα ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἰούδα, Κυρίου καὶ Θεοῦ ἱερὲ Ἀπόστολε καὶ μαθητὰ εὐπειθέστατε, κατεῖδες θαύματα σοῦ τοῦ Διδασκάλου καὶ τῶν λόγων ἤκουσας Αὐτοῦ τῶν σωτηρίων, πανεύφημε, οὓς συνετήρησας, ἐν καρδίᾳ τῷ πανάγνῳ σου ἄχρι τέλει στεῤῥᾶς σου ἀθλήσεως.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἰούδα θεόπτα, ἐν Σιὼν ὑπερῴῳ εἴληφας σὺν Ἀποστόλοις τοῖς δώδεκα τὴν ἐπιφοίτησιν Πνεύματος τοῦ θείου, πάντας τοῦ σοφίζοντος, καὶ ἔδραμες εἰς ἔθνη ὡς ἔλαφος ὠκύπους, πάνσοφε, ἐνεγκεῖν Χριστοῦ ἀλήθειαν καὶ ποτίσαι αὐτὰ θείοις νάμασιν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἰούδα, σὴν μνήμην τὴν σεπτὴν καὶ λαμπρὰν καὶ πάντιμον, πανηγυρίζοντες σήμερον πιστῶς κραυγάζομεν· Ἀποστόλων στῦλε καὶ στεῤῥὸν θεμέλιον Χριστοῦ τῆς ἀληθείας, στερέωσον τοὺς ἀνυμνοῦντάς σε ἐν τῇ πέτρᾳ θείας πίστεως, τῷ Δεσπότῃ Χριστῷ πάσης κτίσεως.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἰούδα, ὁδὸν μαρτυρικὴν γεγηθὼς διήνυσας καὶ ἀμαράντους ἀπείληφας στεφάνους, ὄλβιε, ὥσπερ Ἀποστόλων θησαυρὸς τῶν Δώδεκα καὶ μάρτυς ἀκατάβλητος πίστεως· διὸ ἑκάστοτε καταστέφομεν τὴν μνήμην σου ὑμνῳδίαις καὶ θείοις μελίσμασι.

Δόξα. Ἦχος πλ. α΄.

Ὡς θεόπληκτον ὄργανον καὶ παναρμόνιον ἅρπαν ἀληθείας καὶ ψυχῶν σωτηρίας κατέγνωμέν σε, Ἰούδα Ἀπόστολε· καταλιπὼν γὰρ τὴν χορείαν τῶν Δώδεκα τὴν σάλπιγγα τὴν εὐσεβείας ἐπαιάνισας τοῖς ἔθνεσι καὶ ἤγειρας πάντας τοὺς καθεύδοντας ἐν σκότει ἀγνωσίας· καὶ νῦν ἐκ τῶν ἐπάλξεων τῆς θείας δόξης πάρεχε τὴν εὐλογίαν σου τοῖς εὐλαβῶς τιμῶσί σε καὶ καταστέφουσιν ὕμνοις τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος πλ. α΄

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη. Ἦχος α΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπολυτίκιον.*

*Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ζωγρηθέντα σαγήνῃ τοῦ Λόγου Κτίσαντος, τὸν ἀδελφὸν Ἰακώβου ὡς ἐκλεκτὸν τοῦ χοροῦ Ἀποστόλων ἀνυμνήσωμεν τῶν δώδεκα, θεῖον Ἰούδαν, εὐσεβῶς, τὸν ζωγρήσαντα λαοὺς σαγήνῃ αὐτοῦ φθεγμάτων καὶ ἀθλητὴν τροπαιοῦχον, αὐτοῦ πρεσβείαις καταφεύγοντες.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Ἀντίφωνον Α΄*

*Ἦχος β΄.*

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

*Ἀντίφωνον Β΄.*

*Ἦχος β΄.*

*Στίχ.* Αἴνει, ἡ ψυχή μου τὸν

Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος πλ. α΄.

Στίχος. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ζωγρηθέντα σαγήνῃ τοῦ Λόγου Κτίσαντος, τὸν ἀδελφὸν Ἰακώβου ὡς ἐκλεκτὸν τοῦ χοροῦ Ἀποστόλων ἀνυμνήσωμεν τῶν δώδεκα, θεῖον Ἰούδαν, εὐσεβῶς, τὸν ζωγρήσαντα λαοὺς σαγήνῃ αὐτοῦ φθεγμάτων καὶ ἀθλητὴν τροπαιοῦχον, αὐτοῦ πρεσβείαις καταφεύγοντες.

Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ζωγρηθέντα σαγήνῃ τοῦ Λόγου Κτίσαντος, τὸν ἀδελφὸν Ἰακώβου ὡς ἐκλεκτὸν τοῦ χοροῦ Ἀποστόλων ἀνυμνήσωμεν τῶν δώδεκα, θεῖον Ἰούδαν, εὐσεβῶς, τὸν ζωγρήσαντα λαοὺς σαγήνῃ αὐτοῦ φθεγμάτων καὶ ἀθλητὴν τροπαιοῦχον, αὐτοῦ πρεσβείαις καταφεύγοντες.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, (ὁ β΄ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ζωγρηθέντα σαγήνῃ τοῦ Λόγου Κτίσαντος, τὸν ἀδελφὸν Ἰακώβου ὡς ἐκλεκτὸν τοῦ χοροῦ Ἀποστόλων ἀνυμνήσωμεν τῶν δώδεκα, θεῖον Ἰούδαν, εὐσεβῶς, τὸν ζωγρήσαντα λαοὺς σαγήνῃ αὐτοῦ φθεγμάτων καὶ ἀθλητὴν τροπαιοῦχον, αὐτοῦ πρεσβείαις καταφεύγοντες.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος πλ. β᾽

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Προκείμενον. Ἦχος πλ. δ΄

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. (Δίς).

Στίχ. Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.

Καθολικῆς Ἐπιστολῆς Ἰούδα τὸ Ἀνάγνωσμα 1:1-25

Ἀδελφοί, Ἰούδας, Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ Πατρὶ ἡγιασμένοις καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς· ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη. Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν, ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλ᾽ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν· ὡς Σόδομα καὶ Γόμορρα καὶ αἱ περί αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν. ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ΄ εἶπεν· ἐπιτιμήσαι σοι Κύριος. οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῷα ἐπίστανται, ἐν τούτοις φθείρονται. Οὐαὶ τοῖς ἀσεβέσιν, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι

ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων παραφερόμεναι· δένδρα φθινοπωρινά, ἄκαρπα, δὶς ἀποθανόντα, ἐκριζωθέντα· κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται. Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ ᾿Αδὰμ Ἑνὼχ λέγων· Ἰδού, ἦλθε Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ᾿ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν. Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν Ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔλεγον ὑμῖν ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί, Πνεῦμα μὴ ἔχοντες. Ὑμεῖς δέ, ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτούς, ἐν Πνεύματι Ἁγίῳ προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ζωὴν αἰώνιον. Καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι, οὓς δὲ ἐν φόβῳ σῴζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα. Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, μόνῳ σοφῷ Θεῷ καὶ Σωτῆρι ἡμῶν, δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας· ἀμήν.

Ἀλληλούϊα. (γ´) Ἦχος α´

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.

Στίχ. Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων.

*Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου*

Εἰς τὸ Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β᾽

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἦχος πλ. β´

Πληρωθήτω τό στόμα ἡμῶν αἰνέσεως Κύριε, ὅπως ἂν ὑμνήσωμεν τήν δόξαν Σου, ὅτι ἠξίωσας

ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων. Τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ ὅλην τήν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλουΐα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.